λων· ἡ πρὸς ἡδονὴν οὖν ὁρῶσα ἰατρικὴ μόνον σπεύδει ἀρέσαι καὶ πῶς ἵνα ἀρεσθῇ, ὁ δὲ κάμνων τῷ ζωμῷ, ἐπεὶ οὐ μέλει αὐτῷ, εἴτε βλάψῃ εἴτε μή.

p. 501 c. οὐκ ἔγωγε, ἀλλὰ συγχωρῶ.

συγχωρῶ τοῖς λεγομένοις παρὰ σοῦ καὶ περαίνειν θέλε ὃ 16
βούλει.

## XXXIII.

### Πρᾶξις σὺν θεῷ λγ΄.

p. 501 d. πότερον δὲ περὶ μὲν μίαν ψυχήν.

ἤδη ἡμῖν εἴρηται, ὅτι χρεία τεχνῶν πρὸς τὸ διακρῖναι τὸ 1
ἀγαθὸν ἀπὸ τοῦ ἡδέος· ἐρωτᾷ τοίνυν ὁ Σωκράτης τὸν Καλλικλέα· ὅτι ποῖαί εἰσιν τέχναι πρὸς ἡδονὴν ὁρῶσαι καὶ ποῖαι πρὸς τὸ ἀγαθόν; καὶ ἄρχεται ἀπὸ τῶν πρὸς ἡδονὴν ὁρωσῶν καὶ τούτων ἀπὸ τῆς αὐλητικῆς ὡς πόρρω οὔσης τοῦ λόγου· πόρρω δὲ λόγου καλοῦμεν τὴν αὐλητικήν, ἐπειδὴ πρῶτον μὲν οὐ κέχρηται λόγῳ, ὥσπερ ἡ κιθαρῳδία· ἐκείνη μὲν γὰρ δύναται καὶ κρούειν ταῖς χερσὶ τὰς χορδὰς καὶ ᾄδειν μέλος· αὕτη δὲ τὸ στόμα κατὰ τοῦ αὐλοῦ βαλοῦσα λόγον οὐ προφέρεται· ἄλλως τε δὲ καλεῖται πόρρω λόγου, ὅτι ἡ μὲν αὐλητικὴ δύναται καὶ ἄλογα ζῷα κινῆσαι, ἡ δὲ κιθαριστικὴ οὔ, ἀλλὰ μόνα τὰ λογικά· λέγει τοίνυν, ὅτι αὕτη πρὸς ἡδονὴν ὁρᾷ· ὡσαύτως καὶ ἡ κιθαριστικὴ καὶ ἡ ποιητική· δεῖ δὲ εἰδέναι, ὅτι ἡ ποιητικὴ γίνεται δημηγορία· ὅπερ γὰρ λέγει καὶ ὁ Ἰσοκράτης· λάβε τῆς ποιητικῆς τὰ μέτρα καὶ τὸν ῥυθμὸν καὶ μένει δημηγορία, ᾗ κέχρηνται οἱ δημαγωγοί· δημαγωγοὺς δὲ καλῶ τοὺς ῥήτορας, ἐπειδὴ αὐτοὶ τὸν δῆμον ἄγουσιν, ὅπῃ βούλονται· τῆς δὲ ῥητορικῆς ἡ μέν ἐστι διδασκαλική, καθ᾽ ἣν οὗτοι οἱ σοφισταὶ διδάσκουσιν, ἡ δὲ ἐργαζομένη ὡς ἡ τῶν δικολόγων. λέγει τοίνυν ὅτι 2
αὗται αἱ τέχναι ἢ πρὸς τὰ καθέκαστα λαμβάνονται ἢ πρὸς τὰ

22 Isocrat. IX 10, cf. Gorg. Hel. 9; Plat. reip. X 601 b

18 mg. ὅτι ἡ μὲν αὐλητικὴ καὶ τῶν ἀλόγων κινητική, ἡ δὲ κιθαριστικὴ τῶν λογικῶν μόνων 25 mg. ὅτι τῆς ῥητορικῆς ἡ μὲν διδασκαλική, ἡ δὲ ἐργαστική